*βειαν, ἐὰν ἐφ' ἑνὸς ταράττηται καὶ σαλεύηται τὸ βέβαιον αὐτῆς καὶ νενομισμένον, ἐπισφαλὴς γίνεται πᾶσι καὶ ὕποπτος. ἀκούεις δὲ δήπου τὸν Εὐριπίδην ὡς ἐθορυβήθη ποιησάμενος ἀρχὴν τῆς Μελανίππης ἐκείνην* (fr. 480)

*'Ζεύς, ⟨ὅστις ὁ Ζεύς,⟩ οὐ γὰρ οἶδα πλὴν λόγῳ,'*

*μεταλαβὼν δὲ χορὸν ἄλλον (ἐθάρρει ⟨γὰρ⟩ ὡς ἔοικε τῷ* C *δράματι γεγραμμένῳ πανηγυρικῶς καὶ περιττῶς) ἤλλαξε τὸν στίχον ὡς νῦν γέγραπται* (fr. 481)

*'Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο.'*

*τί οὖν διαφέρει τὴν περὶ τοῦ Διὸς δόξαν ἢ τῆς Ἀθηνᾶς ἢ τοῦ Ἔρωτος εἰς ἀμφίβολον τῷ λόγῳ θέσθαι [ἢ] καὶ ἄδηλον; οὐ γὰρ νῦν αἰτεῖ πρῶτον βωμὸν ὁ Ἔρως καὶ θυσίαν οὐδ' ἔπηλυς ἔκ τινος βαρβαρικῆς δεισιδαιμονίας, ὥσπερ Ἄτται τινὲς καὶ Ἀδωναῖοι λεγόμενοι, δι' ἀνδρογύνων καὶ γυναικῶν παραδύεται [καὶ] κρύφα τιμὰς οὐ προσηκούσας καρπούμενος, ὥστε παρεισγραφῆς δίκην φεύγειν καὶ νοθείας τῆς ἐν θεοῖς. Ἀλλ' ὅταν Ἐμπεδοκλέους* (fr. 17, 20) D *ἀκούσῃς λέγοντος, ὦ ἑταῖρε,*

*'καὶ Φιλότης ἐν τοῖσιν ἴση μῆκός τε πλάτος τε,*
*τὴν σὺ νόῳ δέρκου, μηδ' ὄμμασιν ἧσο τεθηπώς',*

*ταῦτ' οἴεσθαι χρὴ λέγεσθαι ⟨καὶ⟩ περὶ Ἔρωτος· 'οὐ γάρ ἐστιν ὁρατός, ἀλλὰ δοξαστὸς ἡμῖν ὁ θεὸς οὗτος ἐν τοῖς πάνυ παλαιοῖς· ὧν ἂν περὶ ἑκάστου τεκμήριον ἀπαιτῇς,*